СБОРНИКЪ
ОТДѢЛЕНІЯ РУССКАГО ЯЗЫКА И СЛОВЕСНОСТИ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ.
Томъ LXX, № 1.

# ГРЕЧЕСКІЕ СПИСКИ АПОКРИФИЧЕСКАГО МУЧЕНІЯ ДАНІИЛА И ТРЕХЪ ОТРОКОВЪ.

В. М. Истринъ.

САНКТПЕТЕРБУРГЪ.
ТИПОГРАФІЯ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ.
Вас. Остр., 9 лин., № 12.
1901.

Напечатано по распоряженію Императорской Академіи Наукъ.
Мартъ 1901. Непремѣнный Секретарь, Академикъ *Н. Дубровинъ*.

# ГРЕЧЕСКІЕ СПИСКИ

## апокрифическаго мученія Даніила и трехъ отроковъ.

Въ приложеніи къ своему изслѣдованію объ «Александріи русскихъ хронографовъ» (Москва, 1893) я издалъ два славянскихъ текста Мученія Даніила и трехъ отроковъ (стр. 345—356). Въ самомъ же изслѣдованіи (стр. 186, прим.) я сослался на Фабриція, указывающаго въ своей Bibl. graeca, vol. IX, стр. 70 греческій текстъ въ Коаленевой библіотекѣ, который начинается словами: Πρόφασις καιρῷ πάρεστιν ἀγαπητοί, что соотвѣтствуетъ началу славянскаго, изданнаго мною въ лѣвомъ столбцѣ (Слово Кирилла Александрійскаго) — «Вина времену настоитъ възлюбленіи». Въ настоящемъ случаѣ издаваемые оригиналы обоихъ славянскихъ текстовъ позволяютъ исправить и объяснить нѣкоторыя недостаточно вразумительныя мѣста послѣднихъ. Издаваемые два греческихъ текста показываютъ, что мы не можемъ ставить въ непосредственную связь между собой тексты славянскіе, какъ могло казаться прежде, но должны смотрѣть на нихъ какъ на два различныхъ перевода двухъ различныхъ греческихъ оригиналовъ, представляющихъ собой двѣ редакціи одного сказанія.

# I.

## Ανδραγαθήματα[1]) καὶ[1]) ἄθλησις τῶν ἁγίων τριῶν[2]) παίδων καὶ Δανιὴλ τοῦ προφήτου.

I. Βούλομαι τοίνυν[3]), ἀγαπητοί[4]), ὑφήγησιν ἀγαθὴν καὶ[5]) ἐνάρετον[5]) διηγήσασθαι ταῖς τοῦ Χριστοῦ ἐκκλησίαις παίδων Χριστοῦ καὶ μαρτύρων ἀνδραγαθήματα. ὅσοι οὖν τὸν θεὸν ἐπιγινώσκετε, μᾶλλον δὲ γινώσκεσθε ὑπ' αὐτοῦ, ἐνταῦθα προτείναντες[6]) ὑμῶν[7]) τὰς ἀκοὰς σαφῶς[8-]) τῶν[9-]) ῥηθήσεσθαι μελλόντων[9]) ἀκούσατε[8]), ἵνα τῶν λεχθησομένων μαρτύρων τῆς μισθαποδοσίας ἀξιωθῆτε. τούτους γὰρ ἐπαινεῖν καὶ θαυμάζειν χρὴ τοὺς μὴ θεασαμένους ἀνθρώπους ποτὲ μαρτυρήσαντας ἢ[10]) θανάτου καὶ ἀναστάσεως[11]) νεκρῶν καὶ πρὸ

---

Барберинской библіотеки (въ Римѣ) IV, 63, лл. 186—191, XIII в.

Варіанты: *Пар.* — Парижской Національной библ. de fonds grecs № 1491, лл. 40—47, X в.

*Бод.* — Бодлеянской библ. cod. Laudianus № 69, лл. 225...

*Клн.* — Парижской Націон. библ. cod. Coisliensis № 105, лл. 133—135, XII в.

Въ Бодл. Заглавіе: Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας διήγησις περὶ τῆς ἀθλήσεως τῶν ἁγίων τριῶν παίδων Ἀνανία Ἀζαρία Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου.

1—1) нѣтъ *Пар.* 2) доб. Ἀνανία Ἀζαρία Μισαήλ—*Пар.* 3) нѣтъ—*Бод. Клн.* 4) нѣтъ—*Бод. Пар.* 5) нѣтъ—*Пар. Бод. Клн.* 6) προτείνατε—*Клн.* 7) нѣтъ—*Пар. Бод. Клн.* 8—8) нѣтъ—*Клн.* 9—9) нѣтъ—*Пар. Бод.* 10) καὶ—*Пар. Бод.*; въ *Клн.* вм. ἢ—καὶ читается μήτε. 11) ἀνάστασιν—*Клн.*

τῆς ἐνδόξου κατὰ σάρκα τοῦ Χριστοῦ παρουσίας ὁμολογητὰς καὶ μάρτυρας αὐτοῦ γεγονότας. περὶ τούτων οὐχ' ἡμεῖς ὑμῖν κελλαδοῦμεν ἀλλὰ προνοίᾳ[1]) τῆς ἀρτίως ἡμῖν ἀναγνωσθείσης προφητείας ἀποφθέγγεται[2]). διὸ κἀγὼ βούλομαι τῶν βασιλικῶν καὶ ὁμογόνων παίδων Ἀνανίου Ἀζαρίου καὶ Μισαὴλ μετὰ τοῦ πανσόφου καὶ[3]-) θείου ἀνδρὸς[3]) Δανιὴλ τὴν ἀγαθὴν πολιτείαν καὶ τελείωσιν ὑφηγήσασθαι. (186ᵛ) δεῦρο, λοιπόν, ἐνστησώμεθα[4]) τὴν βάσιν τῆς ἀρχαίας οἰκοδομῆς, δι' ἣν αἰτίαν προμαχίονες[5]) ἐτάχθησαν τοῖς πέρασι τῆς οἰκουμένης. οἱ κάλλιστοι[6]) παῖδες τῆς Ἱερουσαλὴμ τί σε διαθῶ Ἱερουσαλὴμ[7]-) ποίας δὲ[7]) πολιτείας οὐ[8]) κατηγορῶν σοι κραυγάζω, ἀλλὰ συνηγορῶν θαυμάζω τὸν λόγον ὃν[9]) προστάγματί σοι λελάληκεν ὁ θεὸς ἕως τετράκις διαμαρτυρόμενος καὶ λέγων ἐν τῷ Δαβὶδ «ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ[10]) τὸν νόμον μου καὶ τοῖς κρίμασίν μου μὴ πορευθῶσιν». καὶ διὰ Ἡσαΐου παραγγέλει «λούσασθε καὶ καθαροὶ γίνεσθε, μάθετε καλὸν ποιεῖν. ὦ Ἱερουσαλήμ, ἐν σοὶ δικαιοσύνη κοιμᾶται[11]). τὸ κατὰ σάρκα φυτὸν τῆς παρθένου. ὁ καὶ ὁ Δαβὶδ προθεασάμενος κραυγάζει[12]) «ἀνάστηθι, κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. ἐν σοὶ μίσγουσιν αἱ κάπηλοι τὸν οἶνον ὕδατι καὶ οἱ ἄρχοντές σου οὐ πειθαρχοῦσιν». καὶ διὰ Μιχαίου λέγει· «μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. ὡς οὖν ἐνέμενες ἐν τῇ παρακοῇ[13]), κατά σου παρασκευάζει λοιπὸν τὸν βασιλέα τῶν Ἀσσυρίων[14]). ἐπιλεξάμενος γὰρ ἄνδρας δυνατοὺς ἐν ἰσχύϊ καὶ πεπειραμένους πολεμεῖν, ἵππους τε κερκησίους καὶ μανικοὺς ἐν πολέμοις, καὶ τούτων ἐπιβάντες νεώτεροι δυνατοὶ καὶ θώραξιν ὁπλισάμενοι[15]) καὶ ἑκατέραις χερσὶν τὰς βολίδας διαπεμπόμενοι, οὐκ ἀπετύγχανε[16]) τοῦ[17]-) σκοποῦ. τότε[17]) ἐπιβαίνει

---

1) въ рук. προνοίας. 2) ἀποφθεγγόμεθα *Бод. Клн.* 3—3) нѣтъ—*Пар. Бод. Клн.* 4) ἀναστησώμεθα—*Пар. Бод. Клн.* 5) προμαχῶνες—*Бод,* 6) καλλίνικοι—*Клн.* 7—7) πῶς ὑμνωσω τὰς ἰδιας πραξεις—*Пар. Бод. Клн.* 8) нѣтъ—*Пар. Бод.* 9) ἐν—*Пар. Бод. Клн.* 10) σου—*Пар. Бод. Клн.* 11) доб. καὶ νῦν φονευταί· πῶς δὲ δικαιωσύνη κοιμᾶται.—*Пар.* 12) ἐκραύγαζεν—*Бод.* 13) доб. καὶ οὐκ ἐπέμενες ἐν τῇ ὑπακοῇ—*Пар.* 14) доб. εἰς μνημόσυνον ἄγων τὸν θησαυρὸν Ἐζεκίου τοῦ βασιλέως, παρατάσσεται κατά σου, ἐπιστρέψας τὸν βασιλέα τῶν Ἀσσυρίων [ἐπιστ... Ἀσσ. нѣтъ—Бод.]—*Пар. Бод. Клн.* 15) ὡσπλισμένοι οἵ—*Пар. Бод.* 16) ἀπετύγχανον—*Пар. Бод. Клн.* 17—17) нѣтъ—*Пар. Бод.*

τῇ πόλει Ἱερουσαλὴμ [1]) Ναβουχοδονόσωρ βασιλεὺς Βαβυλῶνος ὥρᾳ τρίτῃ τῆς νυκτός. ἑορτῆς γὰρ ἀγομένης τότε [2]-) μεγίστης ἐν τῇ πόλει [2]) καὶ λαμπαδουχίας (187) οὔσης, ὅτι χοροὶ καὶ κρεπάλοι κύμβαλα καὶ κιθάραι καὶ κτύπος τῶν ὀρχουμένων οὐκ εὐγενὴς [3]) ὅτε [4]-) οὐδεὶς [4]) παρετεῖτο [5]) τῆς πόλεως οὐκ ἐλεύθεροι οὐ [6]-) δοῦλοι οὐ παῖδες οὐ παιδίσκαι [6]), ἀλλὰ [7]) πᾶσα ἡλικία [8]-) καὶ πᾶσα [8]) πανήγυρις ἐκ διαφόρου τοῦ δήμου ἐπὶ τὸ αὐτὸ ταῖς κρεπάλαις ἀσχολούμενοι. Ἱερεμίας δὲ μόνος [9]) περιτρέχων ὠδύρετο λέγων [10])· «μέχρι τίνος ἡσυχάζεις, ὁ θεος;» καὶ Βαρουχ ὁ προφήτης ὀργισθεὶς ἐν χάσματι κατακλεῖσται [11]) διὰ τὴν ἄτακτον [12]-) αὐτῶν πρᾶξιν [12]). καὶ Ἀβιμέλεχ ὁ προφήτης φυλαττόμενος ἐν ἀγρῷ, ἵνα μὴ ἴδῃ τὴν ἐρήμωσιν τῆς πόλεως καὶ τὴν συμφορὰν τὴν γενομένην ἄφνω. τοῦ βασιλέως τῶν Βαβυλωνίων ἐπιστάντος, εὐθέως [13]) ἐκδονοῦσι σάλπιγγες εἰς ἑπτὰ παρατάξεις ἐνήχει μεγάλῳ καὶ φωνῇ βαρυτάτῃ μιχανικῇ [14]) σιδηρόπυροι ἀποπηδῶντες θᾶττον τὰ τείχη συνέτριβον ἐδαφιοῦντες, αὐτὰ [15]) συντρίβοντες [16]-). καὶ ἡ τύπος [16]) ἁρμάτων βαρὺς ἀνεκρούετο [17]) καὶ ἵπποι μανικοὶ [18]) βαρβαρικὴν φωνὴν χρεμετίζοντες ἐξετραγῴδουν συχνοτέρως [19]) βρυχόμενοι καὶ [20]) ἑκατέρωθεν βροντὴν βαρεῖαν ἀποτελοῦντες, ὥστε τὴν κρεπάλην παρακρύπτεσθαι [21]) καὶ λαμπάδας σβέννυσθαι, καθὼς εἶπεν ὁ προφήτης· «τραπῆναι τὰς ἑορτὰς αὐτῶν εἰς πένθος καὶ τὴν χαρὰν εἰς θρῆνον». καὶ [22]-) ἦν ἰδεῖν τότε [22]) ἐκεῖ καταπτώσεις [23]) τειχέων ῥήξεις [24]) ἐμπρησμοὺς [25]) καὶ συγχήσεις [26]) πτωμάτων παρὰ τοῦ ἱεροῦ καὶ τὰ μυστικὰ σκεύη τῆς λειτουργίας ὧν οὐκ ἦν ἰκασμὸς ὁ [27]) κόσμος [27]) τοῦ χρυσίου καὶ πάντα συναρπασθέντα προήγοντο τῆς ἀθεμίτου πράξεως ἐκείνης.

1) нѣтъ—*Пар. Бод. Клн.* 2) нѣтъ—*Пар. Бод. Клн.* 3) εὐγενεῖς—*Пар. Клн.* 4—4) нѣтъ—*Пар. Бод.* 5) παρετοῦντο—*Пар. Бод.* 6—6) нѣтъ—*Пар. Бод. Клн.* 7) доб. συνήλεκτο — *Пар. Бод. Клн.* 8—8) нѣтъ — *Пар. Бод. Клн.* 9) нѣтъ — *Пар. Бод. Клн.* 10) нѣтъ — *Бод* 11) κατακλείει—*Пар.*, κατακλείεται—*Бод.* 12—12) ἀταξίαν. 13) нѣтъ—*Пар. Бод. Клн.* 14) καὶ τροχοὶ μηχανικοὶ [Бод. μανικοί] *Пар. Бод. Клн.* 15) καὶ αὐτούς—*Пар.*, αὐτὰ συντ. нѣтъ—*Бод.* 16—16) нѣтъ—*Пар.* 17) φαρέτραι πολεμιστῶν συνεκρούοντο—*Пар. Бод. Клн.* 18) πολεμικοί—*Клн.* 19) ὑψιμελῶς—*Пар. Бод.*, συχν. βρυχ. нѣтъ—*Клн.* 20) ὡς—*Пар.* 21) παραχρῆμα κρύπτεσθαι—*Пар. Бод. Клн.* 22—22) нѣтъ—*Пар. Бод. Клн.* 23) κατάπτωσις—*Пар. Клн.* 24) καὶ οἰκίων διαφόρων καὶ ταμείων ἤξεις—*Пар. Бод. Клн.* 25) ἐμπρησμός—*Пар. Бод. Клн.* 26) σύγχησις—*Пар. Бод.* 27) ἐν τιμῇ. *Пар. Бод.*

II. Συνελήφθησαν δὲ καὶ τεσσαράκοντα (187') χιλιάδες ἀνδρῶν τὲ καὶ γυναικῶν καὶ παιδίων. ὁ οὖν Ἀσύριος ἐπινοήσας [1]) χιλίους ἄνδρας ἐν [2]) ζευκτῷ [2]) συνδήσας ἐξέβαλεν καὶ [3-]) οὕτως τὰς [3]) σαράκοντα χιλιάδας τῆς ἰδίας αὐτῶν πόλεως ἐξέωσεν [4]). ἐν μέσῳ δὲ τοῦ πλήθους τῶν αἰχμαλώτων τοὺς τρεῖς ὁμογόνους [5]) παῖδας παρεκατέστησεν καὶ οὕτως εἰς τοὺς τραχεῖς καὶ δυσβάτους τόπους ἔμπροσθεν μὲν σαλιβαρίοις αὐτοὺς ἕλκεσθαι δίκην ὄνων καὶ ἡμιόνων [6]), ὄπισθεν δὲ τυπτομένους πικρῶς κατεπείγεσθαι. πρόσταγμα γὰρ ἐθέσπισεν ὁ [7]) βασιλεὺς [7]) ἀνυποδήτους [8]) αὐτοὺς ἄγεσθαι πρὸς [9-]) τιμωρίαν [9]) πᾶσαν [10-]) τὴν ὁδόν [10]). ὅταν οὖν τις αὐτῶν ἀκανθόπληκτος γέγονεν καὶ ὀδυνόμενος ἐπεῖχεν τὸν σκόλοπα τοῦ ποδὸς αὐτοῦ ἐκτινάξαι, ἔδει τοὺς χιλίους ἀναμένειν τὸν ἕνα. διὰ τὸ ἐναλύσει μίᾳ δεδέσθαι πάντας [11]) αὐτούς, καθὼς καὶ ὁ προφήτης Δαβίδ [12]) προανεφώνησε λέγων· «ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν». οὕτως οὖν τυπτόμενοι καὶ περιζωπυροῦντες [13]) ἡμέρας [14-]) σαράκοντα [14]), φθάνουσιν εἰς Βαβυλῶνα τοῦ τρίτου ποταμοῦ, ὅθεν ἐκεῖ κρεμασθέντες [15]) ἐν τοῖς δένδροις κατήπειγον αὐτούς φησι· «ᾄσατε ψαλμὸν ὃν τρόπον καὶ ἐν τῇ γῇ ὑμῶν». τότε στάντες οἱ τρεῖς ὁμόγονοι παῖδες εἶπον. «ἀδύνατόν ἐστιν ἐπὶ ἀκαθάρτων χειλέων [16]) λόγια θεοῦ λαλῆσαι». ἐταπεινώθησαν οὖν τὴν ἡμέραν ἐκείνην ὑπὸ τῶν ῥαβδούχων ἕως ὥρας ἐννάτης. οἱ δὲ ἀμώμητοι [17-]) καὶ εὐγενεῖς [17]) παῖδες ἔλεγον· «ἐν κρυπτῷ κύριον τὸν [18-]) θεὸν ἡμῶν [18]) αἰνέσωμεν». λοιπὸν δὲ περὶ ὥραν τρίτην τῆς [19]) νυκτὸς [19]) ὁ φιλάνθρωπος καὶ ἀμνησίκακος θεὸς μέμνηται τῆς διαθήκης τῆς πρὸς Ἀβραὰμ τὸν [20-]) δοῦλον αὐτοῦ [20]) καὶ ἀξιωθεὶς παρὰ τῶν δικαίων ἀποστέλλει τοὺς ἐπὶ τῶν ἰαμάτων ἀγγέλους ἀποκαταστήσας τὸν ἑαυτοῦ λαὸν ἀκακούχητον ἀπὸ πάσης ἐπινοίας τῶν παρανόμων καὶ κλίνας τὴν καρδίαν (188) τῶν ἐναντίων συμ-

---

1) доб. ἐμπλέκτῳ καλωδίῳ — *Пар. Бод. Клн.* 2) нѣтъ — *Пар. Бод. Клн.* 3—3) нѣтъ—*Пар. Бод. Клн.* 4) нѣтъ—*Пар. Бод. Клн.* 5) ὁμογενεῖς—*Пар. Бод. Клн.* 6) доб. προσέταξεν—*Пар.* 7) нѣтъ—*Пар. Бод. Клн.* 8) въ рук. ἀνυποδείκτους. 9—9) μείζονος ἕνεκα τιμωρίας—*Клн.* 10—10) нѣтъ—*Пар. Бод. Клн.* 11) нѣтъ—*Пар. Бод.* 12) нѣтъ—*Пар. Бод. Клн.* 13) πεζοποροῦντες—*Пар. Бод.* 14—14) нѣтъ—*Пар. Бод. Клн.* 15) κρεμάσαντες—*Пар.* 16) нѣтъ—*Пар. Бод. Клн.* 17) нѣтъ—*Пар. Бод. Клн.* 18—18) нѣтъ—*Пар. Бод. Клн.* 19) нѣтъ—*Пар.Бод.* 20—20) нѣтъ—*Пар. Бод. Клн.*

παθεστέρως αὐτοῖς προσεῖχον. ὅθεν ἰδὼν βασιλεὺς Βαβυλῶνος ἐνύπνιον δυσεπίλυτον καὶ[1]) διὰ τοῦ σοφοῦ[2]) Δανιὴλ καὶ τῶν ἁγνῶν παίδων μαθὼν[3-]) τὴν σύγκρισιν τοῦ ἐνυπνίου[3]), ἄρχοντας αὐτοὺς ἔταξεν ὅλης τῆς χώρας ἐκείνης ἔσεσθαι[4]).

III. Καὶ τρίτης βασιλείας ἀλλαγείσης ἐπὶ τοῦ χρόνου τῆς τῶν Ἑβραίων παροικίας οὐ παρετράπη ὁ λογισμὸς αὐτῶν, οὐ συνῆλθον τοῖς ἀνόμοις[5-]) αὐτῶν καὶ[5]) ἀπίστοις δόγμασιν[6-]) καὶ[6]) οὐκ ἐκολλήθησαν αὐτοῖς[7-]) ματαίως[7]). οἱ οὖν τρισόλβιοι[8-]) καὶ μακάριοι[8]) ὅσιοι παῖδες μετὰ[9]) τοῦ καθηγητοῦ καὶ καλοῦ Δανιὴλ[10]) συνεπόμενοι[11]) ἑξήκοντα πηχῶν μάταιον εἰκόνα συνέτριψαν καὶ δράκοντα πηχῶν ξ̄ τὸν παρ' ἐκείνοις[12]) θεὸν ἐθανάτωσαν[13]) καὶ[14-]) τὸν Βὴλ κατέστρεψαν[14]). ταῦτα δὲ τῶν ἁγίων τὰ συγγράμματα[15]) εὑρέθησαν ἐν κρυσταλίνοις πετάλοις γεγραμμένα. διὸ ἀναγκαῖον ἡγησάμην τὴν ξένην αὐτῶν[16]) καὶ πᾶσιν ἄγνωστον διήγησιν διηγήσασθαι ὑμῖν. μετὰ γὰρ τὸ συντριβῆναι τὰ τῶν ματαίων θεῶν[17]) ἀγάλματα τῇ δυνάμει τοῦ[18-]) θεοῦ καὶ[18]) τῶν ἁγίων ἀνδρῶν καθ' ὑπόθεσιν τοῦ διαβόλου τὸν[19-]) μὲν Δανιὴλ ἐν λάκκῳ λεόντων ἐνέβαλον τοὺς δὲ ἁγίους τρεῖς παῖδας ἐν καμίνῳ πυρός. ἀλλ' ὁ δεσπότης ἡμῶν κύριος καὶ[19]) θεὸς τῶν[20]) ἁπάντων[21]) ἀπέστειλεν τὸν ἀρχάγγελον αὐτοῦ Μιχαὴλ πρὸς[22]) αὐτούς[22]) καὶ ἐμβληθέντων αὐτῶν ἐν τῇ καμίνῳ παραστὰς[23-]) αὐτοῖς ὄπισθεν[23]) ὁ τοῦ θεοῦ ἄγγελος[24-]) ἐδροσοποίησεν αὐτοὺς ἐν μέσῳ τῆς καμίνου[24]). καὶ τὸ νυχθήμερον ἐκεῖνο δροσοφορούμενοι[25]) ἦσαν[25]) (188v) ἐν μέσῳ τοῦ πυρὸς ἀγαλλιώμενοι[26]) καὶ[27-]) δοξάζοντες τὸν θεόν, ὅθεν[27]) καὶ ἡ

---

1) доб. σημεῖον τεράτιον. 2) нѣтъ — *Пар. Бод. Клн.* 3—3) συγκρίναντες τὰ ἐνύπνια τοῦ βασιλέως — *Пар. Бод.* 4) нѣтъ — *Пар. Бод. Клн.* 5—5) нѣтъ—*Пар. Бод. Клн.* 6—6) нѣтъ—*Пар. Бод. Клн.* 7—7) ματαίοις—*Пар. Бод. Клн.* 8—8) τρεῖς—*Пар. Бод. Клн.* 9) καὶ—*Пар. Бод. Клн.* 10) нѣтъ—*Пар. Бод. Клн.* 11) συνεπομένου—*Пар. Бод. Клн.* 12) доб. νομιζόμενον — *Бод.* 13) ἐπάταξαν θανατώσαντες. 14—14) нѣтъ — *Пар. Бод. Клн.* 15) συντάγματα—*Пар. Бод. Клн.* 16) нѣтъ—*Пар. Бод. Клн.* 17) нѣтъ—*Пар. Бод. Клн.* 18—18) нѣтъ—*Пар. Бод. Клн.* 19—19) φθονοπλοκίας κάμινον κατὰ τῶν ἁγίων παίδων ἐπινοοῦσιν ἀλλ' ὁ—*Пар. Бод. Клн.* и доб. φιλάνθρωπος ἐλεήμων — *Бод.* 20) нѣтъ—*Пар. Бод. Клн.* 21) нѣтъ—*Пар. Бод. Клн.* 22) нѣтъ—*Бод.* 23) нѣтъ—*Пар.*, μέσον τῆς καμίνου—*Клн.* 24) φλογός—*Бод.* 25) δροσοφοροῦντες — *Пар. Бод. Клн.* 26) доб. ἦσαν — *Пар. Бод. Клн.* 27—27) нѣтъ — *Пар. Бод. Клн.*

θρὶξ τῆς[1-] κεφαλῆς[1] αὐτῶν ἀφλόγιστος[2-] διετηρεῖτο[2] καὶ τὰ[3-] πρόσωπα αὐτῶν οὐκ ἠλλοιώθησαν[3] καὶ οἱ πόδες αὐτῶν ὡς ἐν ψεκάδι περιπατοῦντες ἦσαν[4], ὅτι πνεῦμα κυρίου παντοκράτορος[5] ὥσπερ[5] δρόσῳ διεσυρίζετο ἐν αὐτοῖς, ὅθεν ὁ βασιλεὺς ἐξεφώνησε λέγων· «οὐχὶ τρεῖς ἄνδρας ἐβάλομεν ἐν τῇ καμίνῳ, καὶ νῦν ἰδοὺ τέσσαρας ὁρῶ, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ θεοῦ». τότε Ἀζαρίας στραφεὶς[6] λέγει πρὸς αὐτόν· «λέγε μοι, βασιλεῦ ἀθέμιτε[7-] καὶ βιοθάνατε[7], θεὸν μὴ γινώσκων πῶς υἱὸν θεοῦ καταγγέλεις; ἡμεῖς ἕνεκεν τούτου πάσας αἰκίας ἐδεξάμεθα, ἵνα ὅταν ἔλθῃ πρὸς ἡμᾶς ἐνθαῦτα κατὰ σάρκα διὰ παρθένου ἁγνῆς, καθὼς γέγραπται, δορυφόρους ἡμᾶς καταστήσει τῶν ἐσομένων ὑπὲρ αὐτοῦ μαρτύρων». εἶτα ἔφη ὁ βασιλεύς· «καὶ ἅγιον ὁρῶ καταβαῖνον». ὁ δέ φησι· «οὐδὲ ἐν τούτῳ νοεῖς, ὅτι φόβῳ θεοῦ ἅγια τῶν ἁγίων ὁρᾷς»; τότε φοβηθεὶς Ναβουχοδονόσωρ ἐννόησας καὶ πιστεύσας ἐπιστέλλει τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν καὶ καταστήσας τοὺς παῖδας ἄρχοντας Βαβυλῶνος πίστει θεοῦ κοιμᾶται[8].

IV. Μετὰ οὖν τέσσαρας μῆνας τοῦ ἀποθανεῖν αὐτὸν γίνεται βασιλεὺς Πέρσης τῷ γένει ὀνόματι Ἀττικός, ὃς καὶ ἐκράτησεν τῆς βασιλείας χρόνους λδ καὶ ἐπεζήτει τὰ δόγματα[9] Βαβυλῶνος. καὶ μαθὼν τήν τε[10-] ἀρετὴν καὶ[10] θεοσέβειαν τῶν ἁγίων ἀνδρῶν Δανιήλ τε καὶ τῶν τριῶν παίδων, συλληφθῆναι[11] προσέταξε. (189) ἐλθόντων[12-] δὲ αὐτῶν καὶ στάντων[12] ἐπὶ τοῦ βήματος ἠρώτησεν[13-] αὐτούς[13]. «τίς ἡ φρόνησις τῶν Ἑβραίων καὶ ποίων γονέων ἀπόγονοι τυγχάνετε»[14]; οἱ δὲ ὅσιοι καὶ[15] τρισμακάριοι[15] παῖδες θάρσος ἀνδρεῖον[16] ἀναλαβόντες καὶ τῇ χειρὶ αὐτῶν διαμένοντες[17] ἔστησαν. τότε Μισαὴλ ἤρξατο τὴν

---

1) нѣтъ — *Пар. Бод. Клн.* 2—2) οὐκ ἐφλογίσθη — *Бод.* 3—3) τὸ πρόσωπον αὐτῶν οὐκ ἠλλοιώσθη — *Бод.* 4) ἀνεψύχοντο — *Бод.* 5—5) нѣтъ — *Пар. Клн.*; παντ. — ἐν αὐτοῖς = εἰς δρόσον τοὺς ἄνθρακας μεταποιοῦν — *Бод.* 6) нѣтъ — *Пар. Бод. Клн.* 7—7) нѣтъ — *Бод.*, ἀθ. καὶ βωμολόχε — *Пар. Клн.* 8) здѣсь оканчивается списокъ Коаленев. 105 съ добавленіемъ: μετὰ τῶν εναρευθησάντων θεῷ εἰς τοὺς αἰῶνας, ἀμήν. 9) προστάγματα — *Пар. Бод.* 10—10) нѣтъ — *Пар. Бод.* 11) доб. αὐτούς — *Пар. Бод.* 12—12) καὶ ἔστησεν — *Пар. Бод.* 13—13) πυθόμενος — *Пар. Бод.* 14) доб. κύκλῳ δὲ τοῦ θρόνου αὐτοῦ φοβερὰ δορυφορία φριττόντων πάντων τῶν παρεστότων — *Пар. Бод.* 15—15) нѣтъ — *Пар. Бод.* 16) нѣтъ — *Пар. Бод.* 17) ἀνανεύοντες — *Пар. Бод.*

ἀπόκρισιν τῷ βασιλεῖ ἀπομένειν[1]) καί φησι πρὸς αὐτόν· «νέος μέν εἰμι πρὸς τοὺς ὁμοίους παῖδας πλὴν αὐτῶν μὴ βουλομένων σοι λαλεῖν[2]). βδέλυγμα γάρ σε ἡγοῦνται. ἀναγκάζομαι πρότερον λέγειν τὰ κατά σε. ἀλλὰ τέως ἐγὼ αὐτὸς ἀποκρίνομαι τὴν ἄνοιαν[3]) τῆς ἀναισθήτου σου βουλῆς, ὅτι χεῖρον ὑπάρχεις τῶν ἑρπησίων[4]) καὶ ἰοβόλων ζώων, ἃ διὰ χειλέων ἀνάγουσι πῦρ καὶ πάλιν σβεννύουσι, τούτους[5]) γὰρ[6]) θεὸν ὀνομάζων αἱμοβόρων[7]) ἐδέσματα κυνὸς καὶ λύκου τύπον ἐπέχεις[8]). καὶ δέδοται μὲν τῷ γένει σου καὶ τῇ φυλῇ σου πλουτεῖν ἐπὶ τῆς γῆς πρὸς ὑπόκρισιν κατάρας, ὡς Μαγεδών, ὁ πατήρ σου, ὃς διὰ πλοῦτον φασματικὸν συρίναις[9]) συμβιώσας πρὸς γάμον κοινωνίαν ἤρατο, ὅθεν ὑποθέσει τοῦ ὑδρικοῦ καὶ ἀκαθάρτου πνεύματος φονοκτονεῖν μεμαθήκατε καὶ ζώων ἀλόγων καὶ βοὸς[10]) γεννήματα πυρὶ καταναλίσκοντες[11]), ὡς θυσίαν ὑπονοεῖτε[12]) τὸ ἀθέμιτον τόλμημα τοῦτο, καὶ τῷ φυράματι ἀπ' αὐτῶν αἷμα προσμιγνοῦντες[13]) οὐ νοεῖτε τὰς ἑαυτῶν σάρκας ἐσθίοντες, διὸ καὶ Μανιχαῖοι κέκλησθε. λοιπὸν λέξω καὶ τὰ (189ᵛ) καθ' ἡμᾶς. ἡμεῖς βασιλέων ὁσίων τέκνα ἐσμέν, πατρὸς Ἐζεκίου καὶ μητρὸς Καλληγόνης, ὃς ἐθάρσησεν εἰπεῖν τῷ θεῷ ὅτι τὰ «ἀρεστὰ ἐνώπιόν σου ἐποίησα πορευόμενος ἐν ἀληθείᾳ», ὅστις καὶ κομίζεται παρὰ τοῦ θεοῦ χρόνων προσθήκην ἔτη ιε͞, ὃς ἐχαρίσατο ταῖς γεηπόνοις τὸν φόρον. οὗτος προαναγγέλων εἶπεν ἡμῖν, ὅτι ἥξει καιροῖς ἰδίοις ὁ τοῦ θεοῦ λόγος ἐν μορφῇ ἀνθρώπου, ὃς καὶ τὸν[14]) κόσμον[14]) ἀνεῴξει καὶ τὸν[15]) κόσμον[15]) φωτίσει, ὃν καὶ οἴδαμεν πρὸ τῶν χρόνων σκιοφανῶς καταπατοῦντα τὸ πῦρ ἐπὶ τοῦ ἡγησαμένου σε[16]) βασιλέως, ἀλλ' ἐκεῖνος μὲν ἠξιώθη τῆς σωτηρίας. σοὶ δὲ τί ἔσται εἰς ἡμέραν ἐπισκοπῆς; νοσήσεις τότε, νῦν δέ, ὃ βούλει πράττειν[17]-) καθ' ἡμῶν[17]), πράττε ἐν τάχει. ὑπὲρ γὰρ θεοῦ προθύμως τὸν θάνατον ἀποδεχόμεθα».

V. Ὁ δὲ πρὸς τὴν ἀπόκρισιν ταύτην ἀγριωθείς, συμβούλειον ποιησαμένος, κελεύει τὴν κεφαλὴν Μισαὴλ ἀποτμηθῆναι. προσδραμὼν

---

1) въ рук. ἐπομένην. 2) въ рук. λαβεῖν. 3) ἔννοιαν—*Пар. Бод.* 4) ἑρπυστικῶν — *Бод.* 5) τοῦτο — *Пар. Бод.* 6) нѣтъ — *Пар. Бод.* 7) въ рук. αἱμόβων. 8) ἐπέχων—*Пар. Бод.* 9) σειρίσι—*Бод.* 10) βοῶν—*Бод.* 11) καταναλίσκειν—*Пар. Бод.* 12) ὑπονοοῦντες—*Пар. Бод.* 13) προσμιγνύοντες—*Пар. Бод.* 14) τὸν ᾅδην—*Пар. Бод.* 15) τὸ σκότος—*Пар. Бод.* 16) нѣтъ—*Пар. Бод.* 17—17) нѣтъ—*Пар. Бод.*

δὲ Ἀζαρίας καὶ ἁπλώσας τὸ φιβλατόριον αὐτοῦ ἐδέξατο τὴν τιμίαν[1]) καὶ ἁγίαν[1]) αὐτοῦ κεφαλὴν κλαίων. Ὁ δὲ Ἀττικὸς κελεύει καὶ τὸν Ἀζαρίαν ἀποτμηθῆναι. ὁ οὖν Ἀνανίας ὑποδραμὼν καὶ τῶν ἀμφοτέρων ἐγκολπωσάμενος τὰς τιμίας[2-]) καὶ ἁγίας[2]) κεφαλὰς[3]) εἶπεν. «κοινῶς πορευθῶμεν πρὸς τὸν κύριον ἡμῶν καὶ σωτῆρα τοῦ κόσμου». τότε κλίνας καὶ αὐτὸς τὸν τίμιον[4]) αὐτοῦ αὐχένα ἀπετμήθη (190) τὴν[5-]) κεφαλὴν[5]). Δανιὴλ δέ, πετάσας αὐτοῦ τὸ περιβόλαιον εἰς τὴν γῆν, ἐδέξατο τῶν τριῶν τὰς ἁγίας[6]) κεφαλάς, καὶ κλίνας τὴν κεφαλὴν καὶ αὐτὸς ἀπετμήθη μηνὶ[7-]) δεκεμβρίῳ ιζ̅[7]). πᾶς δὲ Ἰσραὴλ ἐκόψατο αὐτοὺς κοπετὸν μέγα. τότε συγκομίσαντες τὰ τῶν ἁγίων λείψανα[8]) καὶ τεχνίταις ἀργυρολάταις χρησάμενοι καὶ κατασκευάσαντες σορία[9]) τεθήκασιν[10-]) αὐτὰ ἐν αὐτοῖς[10]), ἐπιγράψαντες ἑκάστῃ θήκῃ τῶν ἐγκειμένων τὰ ὀνόματα[11]). ἄφνω δὲ συνεκολλήθησαν αἱ κεφαλαὶ ἑκάστη τῷ ἰδίῳ σώματι. καὶ βουλομένου τοῦ βασιλέως καῦσαι τὰ λείψανα αὐτῶν, νύκτωρ λαβόντες τὰ ἄγγελοι ἀπήνεγκαν ἐν τῷ ὄρει Γεβὰλ τοῦ ἀποκρύψασθαι. θᾶττον οὖν ἡ πέτρα διασταθεῖσα εἰς τὴν ἑαυτὴν[12]) κατέκρυψε τὰ λείψανα τῶν[13-]) ἁγίων[13]). μετὰ δὲ τὴν ἐπάνοδον τῶν υἱῶν Ἰσραὴλ καὶ τὴν ἀποκατάστασιν τῆς Ἱερουσαλὴμ ἦσαν ἐν Βαβυλῶνι τὰ τῶν ἁγίων λείψανα ἕως καιροῦ τῆς τοῦ δεσπότου κατὰ σάρκα παρουσίας. ὅτε δὲ ἔστησαν οἱ Ἰουδαῖοι τὸν σταυρὸν κατὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτε τὰ θεμέλια τῆς γῆς ἔφριξαν σαλευόμενα βλέποντα θεὸν ἐν τάφῳ παραδιδόμενον, ὅτε ὁ οὐρανὸς ἐσείσθη, ὅτε πέτραι ἐρράγησαν καὶ αἱ κορυφαὶ τῶν ὀρέων ἐτρόμαξαν, ὅτε πᾶς ὁ ᾅδης ἐφωτίσθη καὶ πολλὰ σώματα ($190^v$) τῶν κεκοιμημένων ἁγίων ἠγέρθησαν καὶ εἰσελθόντα[14]) εἰς τὴς ἁγίαν πόλιν ἐνεφανίσθησαν πολλοῖς[15]), οἱ περὶ Ἄβελ καὶ Νῶε Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ, Ἰωσὴφ Ἡσαΐαν Ἱερεμίαν καὶ Βαροὺχ Ἰωάννην τὸν Πρόδρομον τοῦ Χριστοῦ καὶ Ἐζεκίας μετὰ τῆς ὁμοζύγου[16]). καὶ[17]) τότε

---

1 — 1) нѣтъ — *Пар. Бод.* 2 — 2) нѣтъ — *Пар. Бод.* 3) нѣтъ — *Пар.* 4) нѣтъ — *Пар. Бод.* 5) нѣтъ — *Пар. Бод.* 6) нѣтъ — *Пар. Бод.* 7—7) нѣтъ — *Пар. Бод.* 8) σώματα — *Пар. Бод.* 9) нѣтъ — *Бод.* 10—10) θήκας — *Пар. Бод.* 11) доб. ἀνέθεντο ἐν τοῖς γνωσσοκόμοις — *Пар. Бод.* 12) γῆν — *Бод.* 13) нѣтъ — *Пар. Бод.* 14) εἰσῆλθον — *Пар. Бод.* 15) доб. λέγω δὲ — *Бод.* 16) доб. αὐτοῦ — *Пар. Бод.* 17—17) καὶ τότε οἱ τρεῖς ὁμόγονοι παῖδες Ἀνανίας Ἀζαρίας Μισαὴλ μετὰ καὶ τοῦ καθηγητοῦ τοῦ Δανιὴλ ἐκ Βαβυλῶνος παρέστησαν — *Бод.*

τοὺς τρεῖς αὐτῶν ὁμογόνους παῖδας Ἀνανίαν Ἀζαρίαν Μισαὴλ καὶ τὸν καθηγητὴν αὐτῶν [1]-) καὶ σοφὸν [1]) Δανιὴλ ἀνέστησεν [2]) καὶ ἁπλῶς [3]) ἕτερον πολὺ [4]) πλῆθος ἐπάνω τῶν πεντακοσίων, ὅθεν τοὺς πλείονας αὐτῶν τοὺς [5]) μὲν [5]) ἐξελέξατο ὁ Δεσπότης καὶ ἀπῆλθεν [6]) εἰς τὸν παράδεισον, τοὺς δὲ ἐπέτρεψεν κοιμηθῆναι ἄχρι τῆς δευτέρας αὐτοῦ παρουσίας. διὰ τοῦτο καὶ Παῦλος λέγει· «ὠφθήσεται [7]) ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείονες μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν. καὶ οὓς μὲν ἀπέστειλεν εἰς τὸν παράδεισον μένουσι ἕως ἄρτι, οὓς δὲ ἀπέστειλεν καθεύδειν καθεύδουσιν ἕως [8]-) τῆς δευτέρας αὐτοῦ παρουσίας [8])». οὕτως τοίνυν ἀθλήσαντες οἱ [9]) τρισμακάριοι [10]-) καὶ τρισόλβιοι [10]) ἀμώμητοι παῖδες καὶ φυλαχθέντες πρῶτον [11]-) μὲν ὑπὸ τῆς παναγίας καὶ ὁμοουσίου τριάδος. ἔπειτα δὲ [11]) ὑπὸ τὴν πέτραν ἔτη υ̅μ̅ μετὰ [12]-) καὶ Δανιὴλ τοῦ προφήτου ἀνέστησαν ἐν τῇ ἁγίᾳ ἀναστάσει τοῦ Χριστοῦ. καὶ [12]) (191) ἀπεκατεστάθησαν εἰς τὸν ἴδιον τόπον, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

1—1) нѣтъ—*Пар.* 2) нѣтъ—*Пар.* 3) нѣтъ—*Пар. Бод.* 4) нѣтъ—*Пар. Бод.* 5) οὓς—*Бод.* 6) ἀπέστειλεν—*Пар. Бод.* 7) ὤφθη—*Пар. Бод.* 8—8) γένονε δὲ ταῦτα διὰ τὴν πρᾶξιν τῆς ἀναστασίας — *Пар. Бод.* 9) οἱ τρεῖς ἅγιοι καὶ — *Бод.* 10—10) нѣтъ — *Пар. Бод.* 11—11) нѣтъ—*Пар. Бод.* 12—12) нѣтъ—*Пар. Бод*

## II.

### Τοῦ ἐν ἁγίοις πρὸς ἡμῶν Κυρίλλου Ἀρχιεπισκόπου Ἀλεξανδρείας λόγος εἰς[1]-) τὴν τελευτὴν τῶν ἁγίων τριῶν παίδων καὶ τοῦ πανσόφου Δανιήλ[1]).

I. Πρόφασις καιρῶν[2]) πάρεστιν, ἀγαπητοί, μαρτύρων ἀγαθῶν ἐνέγκαι μνήμην. αὕτη γὰρ ἡ μνήμη μιμεῖται[3]-) τὴν πανήγυριν[3]) τῶν οὐρανίων ταγμάτων ἐπὶ πρεσβείαν καὶ σωτηρίαν τῶν ἡμετέρων ψυχῶν. ὅσοι οὖν τὸν θεὸν ἐπιγινώσκετε[4]), σήμερον ἐνταῦθα τὰς ἀκοὰς ὑμῶν προτείνατε, ὅπως ἀξιωθῆτε τοῦ βραβείου τῶν ἀρτίως λεγομένων[5]) μαρτύρων. τούτους γὰρ ἐπαινεῖσθαι καὶ θαυμάζειν χρή, τοὺς μήποτε (θε)ἀσαμένους ἐνάνθρώπησιν Χριστοῦ καὶ θάνατον ἀθανάτου καὶ ἀνάστησιν νεκρῶν καὶ πρὸ τῆς ἐν σάρκῳ παρουσίας ὁμολογητὰς καὶ μάρτυρας αὐτοῦ γεγονότας. περὶ τούτων ἡ προνοία τῆς ἀχράντου τριάδος[6]) διὰ τῆς ἀρτίως ἀναγνωσθείσης προφητείας ἕνεκεν τῶν βασιλικῶν ὁμοφύλων παίδων Ἀνανίου Ἀζαρίου καὶ Μισαήλ[7]). περὶ τούτων βούλομαι τὴν πολιτείαν καὶ συνηγορικὴν ἐπιστήμην καὶ συμμαχίαν καὶ τελείωσιν ἐξηγήσασθαι τὴν τοῦ θεοῦ ἐκκλησίαν, τὸ πῶς ἀνδραγαθήσαντες ἐτελειώθησαν οἱ καλλίκλαδοι[8]) παῖδες. Ἱερουσαλὴμ Ἱερουσαλήμ, τί σε διαθῶ; πῶς ὑπομνήσω σου τὰς πράξεις καὶ πολιτείας; οὐχ ἅπαξ οὐδὲ δεύτερον, ἀλλὰ τρεῖς καὶ τετράκις διὰ Ἡσαΐου τοῦ προφήτου παραγγέλλων· «λούσασθε καὶ καθαροὶ γίνεσθε. μάθετε καλὸν ποιεῖν[9]), ῥύσασθε ἀδικούμενον. ὦ πόλις Ἱερουσαλήμ, ἐν σοὶ

---

Библіот. S. Maria in Vallicella (въ Римѣ) F. 33, лл. 61—66, XVII в. Варіанты—Парижской Націон. библ. cod. Coisliensis № 121, лл. 53—55.

1—1) εἰς τοὺς ἁγίους τρεῖς παῖδας καὶ Δανιὴλ προφήτην. 2) καιρῷ. 3—3) нѣтъ. 4) доб. μᾶλλον δὲ γινώσκεσθε ὑπ' αὐτοῦ. 5) ἀναγνως θυσομένων. 6) доб. ἐκδιδάσκει. 7) доб. καὶ Δανιὴλ τοῦ προφήτου. 8) καλλοικέλαδοι. 9) доб. ἐκζητήσατε κρίσιν.

δικαιωσύνη κοιμᾶται καὶ παρατάσσονταί σοι φονευταί». διὰ Μηχαίου τοῦ προφήτου ἀπειλεῖ λέγων· «μεταστρέψω τὰς καρδίας[1]) ὑμῶν εἰς πένθος καὶ τὴν χαρὰν εἰς θρῆνον. καὶ κατοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος, ὅσον[2-]) νῦν[2]) ἐπένευσεν τῇ [ὑπ]ακοῇ, παρασκευάζει τὸν Ἀσσύριον βασιλέα, εἰς μνήμην ἀγαγὼν τὸν θησαυρὸν Ἐζεκίου τοῦ βασιλέως, ἵνα πληρώσῃ τὸν τοῦ πφοφήτου λόγον, ὅτι «καὶ ἀπὸ τῶν τέκνων σου ὧν ἐγέννησας λήψονται καὶ ποιήσουσι σπάδονας[3-]) τὰς[3]) τοῦ βασιλέως τῶν Βαβυλωνίων. διὸ παραστήσεται κατὰ σου ἐν ἑβδομήκοντα χιλιάσι ταγμάτων ἐπιλεξαμένους ἄνδρας δονάστας ἐπιστήμονας πολεμεῖν, ἵππους μανικοὺς κερκισίους[4]) καὶ τούτων ἐπιβάσαι νεώτεροι βρίθιοι τοξόται θώραξιν ὡπλισμένοι, οἳ καὶ ὄπισθεν[5]) εὐστόχως πέμποντες τὰς βολίδας τῶν ἀδίκων[6-]) οὐκ ἀπετύγχανον[6]), καὶ ἐπιβαίνει τῇ πόλει τρίτη φυλακὴ τῆς νυκτός. ἑορτῆς ἀγαμένης λαμπαδουχίας, ὅτε κρεπάλη καὶ ἀνακρουσμὸς καὶ χοροὶ καὶ κύμβαλα καὶ κροτοψοφίαι καὶ κιθάραι βομβοῦσαι καὶ φασματικὸς τύπος τῶν ὀρχουμένων οὐκ εὐγενεῖς παρητοῦντο τῆς πόλεως οὐκ ἐλεύθεροι παρητοῦντο[7]), ἀλλὰ συνήλκετο πᾶσα ἡ πόλις ἐκ διαφόρων τοῦ δήμου ἐπὶ τὸ αὐτὸ τῆς κρεπάλης ἕνεκεν ἀσχολούμενοι». Ἱερεμίας δὲ βοᾷ λέγων· «ἕως τίνος ἐπὶ τούτοις ἡσύχασεν[8]) ὁ θεός»; Βαροὺχ ὁ προφήτης μὴ φέρων τὴν ἄτακτον αὐτῶν πρᾶξιν ἑαυτὸν (62) χάσματι κατέκλεισεν. Ἀβιμέλεχ τρίτην ἡμέραν εἶχεν καθεύδων[9]) καὶ φυλασσόμενος ἐν ἀγρῷ, ἵνα μὴ ἴδῃ τὴν γενομένην συμφοράν. ἄφνω δὲ τοῦ βασιλέως τῶν Βαβυλωνίων ἐπιστάντος ἐκκλινούσης[10]) σάλπιγγος ἐνήχει μεγάλως[11]) εἰς ἑπτὰ παρατάξεις, ὥσπερ βροντῆς βιαίας, καὶ τροχοὶ σιδηρόποδοι μηχανικοὶ ἀποπηδοῦντες τὰ τείχη συνέτριβον ἐδαφιοῦντες, ἡ τύπος ἁρμάτων καὶ βαρβάρων καὶ θόρυβος πολεμιστῶν μανιώδης, φαρέτραι συνεκρούοντο, καὶ ἵπποι μανικοὶ βαρβάρῳ τῇ φωνῇ χρεμετίζοντες ἐξετραγῴδουν ὑψηλῶς βρυχόμενοι ὡς ἑκατέρωθεν οὐρανοῦ καὶ γῆς βροντὴν ἐκφωνηθῆναι σάλπιγγες ἔκραζον βῆκται ὥστε τὴν κρεπάλην κρύπτεσθαι παραχρῆμα καὶ χορὸν ἀφανίζε-

1) ὀργάς. 2—2) ὡς οὖν οὐκ. 3—3) σπονδὰς ἐν τῷ οἴκῳ. 4) κερσίους. 5) доб. δυνάμενοι. 6—6) τῶν κείδων καὶ μὴ ἀποτυγχάνοντες. 7) μόνον. 8) ἡσυχάσει. 9) καθεζόμενος. 10) ἐκδονοῦσι. 11) μεγάλῳ.

σθαι καὶ [1]-) κύμβαλα ῥύπτεσθαι [1]) κατὰ τὸν προφήτην τὸν λέγοντα· «τραπῆναι τὰς ἑορτὰς αὐτῶν εἰς πένθος καὶ τὴν χαρὰν εἰς θρῆνον, καὶ [2]) λοιπὸν ἀντὶ κυμβάλων [3]) ὀδυρμός, ἀντὶ λαμπάδος ἀχλὺς καὶ σκότος, ἀντὶ φωτὸς φόβος καὶ τρόμος». ἐκεῖ κατάπτωσις τειχέων καὶ οἰκείων [4]) διαρπαγαί, ἐμπρησμὸς καὶ διαβορασμὸς [5]) σύγχησις πτωμάτων παραπλαγιῶδες [6]) τοῦ ἱεροῦ, καὶ πάντα τὰ σκεύη τοῦ [7]) νόμου [7]) λειτουργίας κυρίου καὶ θεοῦ μυσταγωγίας [8]) διηρπάγη, ὧν οὐκ ἦν ἱκανὸς [9]) ἐν τιμήματι [10]) ἀργυρίου. ταῦτα πάντα προήγουν [11]-) τοὺς αἰχμαλώτους [11]) ἀπὸ Ἱερουσαλήμ.

II. Συλληφθεισῶν γὰρ τεσσαράκοντα χιλιάδων ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων, ὁ Ἀσσύριος οὖν (62ᵛ) ἐπινοήσας ἐν ζευκτῷ καλωδίῳ περιθεὶς τὰς τεσσαράκοντα χιλιάδας, ἐξήγαγεν αὐτοὺς ἐκ τῆς ἱερᾶς πόλεως. ἐν μέσῳ τῶν [12]) χιλιάδων τοὺς τρεῖς παῖδας μόνους [13]) πεπεδημένους [14]) παρεκατέστησε. καὶ οὕτως εἰς [15]) τραχεῖς καὶ δυσβάτους τόπους [16]) ἔμπροσθεν μὲν [17]) καλωδίους αὐτοὺς [18]) τείνεσθαι προσέταξεν ὥσπερ ὄνων [19]-) ἀγομένων [19]), ὄπισθεν δὲ τυπτομένους κατεπείγεσθαι πικρῶς, ὅτι δίχα [20]-) πῶν ὑποδημάτων [20]) ἀπήγοντο πρὸς τιμωρίαν. ὅταν τις μὲν αὐτῶν ἀκάνθες [21]) ἐγένετο καὶ συνεχῶς ὀδυνόμενος ἠγωνίζετο τοῦ ποδὸς ἐκσπάσαι τὴν ἄκανθαν, διέσπα τὴν λεγεῶνα ἀναμεῖναι τὸν ἕνα διὰ τὸ ἀπαραλήπτως εἰς μίαν ἅλυσιν δεδέσθαι τὰς [22]) χιλιάδας, περὶ [23]-) ὧν ὁ προφήτης βοᾷ λέγων [23])· «μὴ γενέσθε ὡς ἵππος [24]-) καὶ ἡμίονος [24]) οἷς οὐκ ἔστιν σύνεσις». εἰ γὰρ ἤνεγκαν τὴν τοῦ θεοῦ φιλανθρωπίαν, οὐκ ἂν βολίδα δεξάμενοι ὥσπερ ἡμίονος ἤγοντο εἰς Βαβυλῶνα. καὶ [25]-) πάλιν· «ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν [25])». οὕτως εὐτόνως [26]) νυττόμενοι ἡμέρας τεσσαράκοντα πεζοὶ ὁδοιπορήσαντες ἤχθησαν εἰς Βαβυλῶνα πλησίον Στοιγίων [27]) ποταμοῦ. κακεῖ κρεμασθέντες ὑπὸ φυτὰ τῆς ἰτέας τυπτόμενοι συνεχῶς ἠναγκάζοντο ὑπὸ

---

1—1) нѣтъ. 2) καὶ τί. 3) τυμπάνων. 4) σκύλων. 5) ἀναβρασμός. 6) παραπλάγιδες. 7) нѣтъ. 8) μυσταγωγίαι. 9) ἱκασμός. 10) τιμῇ. 11—11) συνέβηκεν τοῖς υἱοῖς Ἰσραὴλ τοῖς αἰχμαλωτισθεῖσιν. 12) доб. τεσσαράκοντα. 13) ὁμογόνους. 14) нѣтъ. 15) въ рук. ὡς 16) доб. ἀπάγεσθαι. 17) δὲ αὐτόν. 18) нѣтъ. 19—19) ὄνον ἀπαγόμενον. 20—20) ἀνυπόδητοι. 21) ἀκανθόπληκτος. 22) доб. τεσσαράκοντα. 23—23) κατὰ τὸν ψάλλοντα τὸν προφήτην· ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐπέγειναί με ἄκανθαι. καὶ πάλιν. 24—24) ἵπποι καὶ ἡμίονες. 25) нѣтъ. 26) въ рук. ἐπὶ τινος. 27) τοῦ ἁγίου.

τῶν ἀλλοφύλων λεγόντων· «ᾄσατε ἡμῖν ψαλμὸν[1]-) ὃν τρόπον[1]) ἐν γῇ ὑμῶν». καθὼς[2]-) ὁ προφήτης προβλέπων ἐβόα· «ἐπὶ ταῖς ἰτέαις ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν ἐν μέσῳ αὐτῆς»[2]). τότε στάντες οἱ τρεῖς ἀμώμητοι παῖδες ἦραν τὴν φωνὴν λέγοντες (63)· «ἀδύνατον ἐπὶ γῆς ἀκαθάρτου λαληθῆναι λόγια θεοῦ». ἐταπεινώθησαν δὲ ὑπὸ τῶν ραβδούχων ἕως ὥρας ἐννάτης καὶ οἱ ὅσιοι παῖδες δακρύοντες ἔνδοθεν ἐστιχολόγουν, ἐπαίνευον δὲ τῇ λεγεῶνι· «ἐνκρυφίως δὲ αἰνέσωμεν τὸν θεόν, ὅτι παρέδωκεν ἡμᾶς ὁ θεὸς εἰς χεῖρας ἀνόμων, παρακούσαντας τῶν ἐντολῶν αὐτοῦ». λοιπὸν δὲ περὶ δεκάτην ὥραν τῆς ἡμέρας ὁ φιλάνθρωπος καὶ ἀμνησίκακος θεὸς μέμνηται τῆς διαθήκης τῶν πατέρων καὶ ἀξιωθεὶς[3]-) ἐν τῇ κακήσει[3]) τοῦ λαοῦ, ὅτι ταχὺς ἐστιν ἐν ἐλέει[4]) ἀπεκατέστησεν τὸν ἑαυτοῦ λαὸν ἀκακούχητον πάσης ἐπινοίας ἀνόμων καὶ κλίνας τὰς καρδίας τῶν ἀνόμων[5]) συμπαθεστέρας ἐποίησεν. ὅθεν συγκριθέντων τῶν ἐνυπνίων δυσεπιλύτων[6]) καὶ σημείων καὶ τεράτων διὰ τοῦ Δανιὴλ καὶ τῶν ὁσίων παίδων, ὁ τῆς Βαβυλῶνος βασιλεὺς ἄρχοντας τῶν σατράπων ἔταξεν αὐτοὺς ὅλης τῆς χώρας ἐκείνης, ἵνα τὸν οἰκεῖον λαὸν αἰχμάλωτον ἀπαχθέντα παιδεύσῃ[7]-) εἰς ἀγόρθωσιν ἐπιστήμης[7]).

III. Καὶ δὴ τρίτης βασιλείας ἀλλαγείσης ἐν Βαβυλῶνι ἐπὶ τοῦ χρόνου τῆς τῶν Ἑβραίων παροικίας, οὐκ ἐκολλήθη[8]) ὁ λαὸς ματαίοις, οἱ δὲ ὅσιοι παῖδες, συνεπόμενοι τοῦ καθηγητοῦ αὐτῶν Δανιήλ, ἑξήκοντα πηχέων ματαίαν εἰκόνα συνέτριψαν, δράκοντα τὸν μέγιστον ἐπάταξαν. τίς ὁ προθυμώτερος, προτείνατέ μοι τὰς ἀκοάς[9]), μήτις ἀκηδείᾳ[10]-) τραπεὶς[10]) ἀποδιδράσκῃ διαθήκης πατέρων. σήμερον ὁ θεῖος ὑφηγεῖται λόγος κατὰ τὰς ἐγκρυφίους (63v) βίβλους τοῦ Δανιήλ, μετὰ τὸ συντριβῆναι τὰ τῶν ματαίων ἀγάλματα τῇ χάριτι τῶν καλλινίκων μαρτύρων[11]) καθ' ὑπόθεσιν φθονοπλοκίας κάμινον κατὰ τῶν[12]) παίδων[12]) ἐπινοοῦσιν. ἀλλ' ὁ φιλάνθρωπος θεὸς μὴ[13]-) ῥαθυμήσας[13]) ἀπέστειλε τὸν Μιχαὴλ[14]) καὶ τὸ[15]-) νυχθήμερον[15]) ἐκεῖνο δροσοφο-

---

1—1) καθώς. 2—2) нѣтъ. 3—3) μεταβληθεὶς ἐπὶ τῇ κακώσει. 4) доб. ἀποστείλας τὰ ἐπὶ τῶν ἰαμάτον τάγματα ἀγγέλων. 5) ἐναντίων 6) δυσεπιλήπτων. 7) въ рук. πεδήση 8) ἐκολύθη. 9) доб. ὑμῶν. 10—10) ἀκηδιάσας τραπεῖν. 11) παίδων. 12) αὐτῶν. 13—13) нѣтъ. 14) доб. πρωτάγγελον. 15—15) въ рук. τὸν ἠχθήμενον.

ροῦντες διῆγον ἐν μέσῳ τοῦ πυρὸς αὐλιζόμενοι. ἡ θρὶξ αὐτῶν ἀφλόγιστος διετηρεῖτο, τὸ πρόσωπον αὐτῶν οὐκ ἠλλοιώθη, τὰ ὑποδήματα αὐτῶν ὡς ἐν ψεκάδι δρόσου τήκοντος[1]-) τοῦ πυρὸς συνελάβετο[1]), ὅτι πνεῦμα δρόσου διεσύριζε. τοσοῦτον διεχεῖτο τὸ πῦρ, ὡς ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα, τὸ τῆς ἁγνῆς νηστείας τῶν ἑπτὰ ἑβδομάδων σημαίνων[2]). ὅθεν ὁ βασιλεὺς Ναβουχοδονόσωρ ξενοφωνεῖται λέγων· «οὐχί τρεῖς ἄνδρας ἐβάλομεν[3]) ἐν τῇ καμίνῳ[4]), καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ θεοῦ». Ἀζαρίας λέγει· «εἰπέ μοι, βασιλεῦ, θεὸν μὴ γινώσκων, μᾶλλον δὲ μὴ γινωσκόμενος ὑπ' αὐτοῦ, πῶς υἱόν θεοῦ καταγγέλλεις; ἡμεῖς γὰρ ἕνεκεν αὐτοῦ ὑπομένομεν πᾶσαν αἰκίαν, ἵνα ὅταν παραγίνηται ὁ Μεσίας κατὰ σάρκα ὅ[5]-) τε γεννησόμενος[5]) ἐν Βεθλεὲμ τῆς Ἰουδαίας ὁ[6]-) ἐν τῇ βάτῳ φανεὶς ἀφ'[6]) ἡμῶν δὲ συγγενίδος κατὰ τὸν προκήρυκα νόμον, ὡς ἡ μακαρία μήτηρ ἡμῶν ἐδίδασκεν ἡμᾶς, τότε[7]-) παραγαγόντες ἐσόμεθα τῶν ἀχθησομένων αὐτῷ μαρτύρων»[7]). λέγει οὖν ὁ βασιλεύς· «εἶρ καὶ ἅγιον (64) θεωρῶ[8]-) καταβῆναι»[8]); Ἀζαρίας ἀντιφωνῶν λέγει, ἑστηκὼς ἐν μέσῳ τοῦ πυρός· «οὐδὲ τοῦτο νοεῖς, ἀσύνετε βασιλεῦ, ὅτι τὸ εἶρ ἐπὶ συμφωνίᾳ λέγεται ἁγία βοήθεια; σύνες, ὦ βασιλεῦ, ὅτι τὸν τέταρτον ἐν τοῖς ἰδίοις ἐρχόμενον χρόνοις κατὰ σάρκα ἐθεάσω». τότε Ναβουχοδονόσωρ εἰς ἔννοιαν ἐλθὼν εἰρήνην ἀπέστειλε τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν καὶ[9]) κατέστησε τοὺς ὁσίους[10]) παῖδας[11]) ἄρχοντας Βαβυλῶνος, μετὰ τέσσαρας μῆνας πίστει δὲ θεοῦ ἐκοιμήθη.

IV. Καὶ μετὰ τρίτην βασιλείαν τῆς παροικίας[12]) τῶν υἱῶν Ἰσραὴλ ἐν Βαβυλῶνι τάσσεται[13]) βασιλεὺς ἕτερος[14]) ὀνόματι Ἀττικός. οὗτος κρατῶν[15]) τῆς βασιλείας Βαβυλῶνος ἀναζητεῖ τάγματα τῶν Ἑβραίων[16]), μάλιστα τοῦ Δανιὴλ καὶ τῶν ὁσίων τριῶν παίδων, καὶ συλληφθῆναι αὐτοὺς προσέταξε. καὶ στήσας αὐτοὺς ἐπὶ τοῦ βήματος

---

1—1) οὐδ' ὡς μὴ πυρὸς εὑρέθη ἐν τοῖς ἱμματίοις αὐτῶν. 2) доб. τὸ μέτρον 3) ἔβαλον. 4) доб. νῦν δὲ ὁρῶ τέσσαρες ἐν αὐτῇ περιπατοῦντας. 5—5) ὁ τεχθησόμενος. 6—6) ἐκ κόρης ἀπειράνδρου. 7—7) τότε συναγείρει ἡμᾶς ἐκ τοῦ ᾅδουςδεσμῶν. 8—8) ὁρῶ καταβαῖνον. 9) доб. μετὰ τὸ ἐξελθεῖν αὐτοὺς ἐκ τῆς καμίνου τοῦ πυρός. 10) θείους. 11) доб. σὺν Δανιὴλ τῷ προφήτῃ. 12) αἰχμαλωσίας. 13) γίνεται. 14) Περσεὺς τῷ γένει ὠμός. καὶ ἀπάνθρωπος. 15) κατακρατὴς γενόμενος. 16) доб. καὶ μαθὼν τὴν θεοσεβείαν αὐτῶν.

ἐπυνθάνετο τὴν φρόνησιν αὐτῶν. ἀλλ' ἐπειδὴ τὸ τρανὸν τοῦ βήματος[1]) βαρὺ καὶ κύκλῳ τοῦ θρόνου δορυφορία καὶ πρόθεσις ἀπειλῆς[2]) βασάνων, φρίττουσιν δὲ οἱ λοιποί. τό δὲ νεώτερον παιδίον ὁ Μισαήλ, θεόθεν θάρσος λαβόν, τὴν χεῖρα προτείνας ἐναντίον τοῦ βασιλέως, ἤρξατο λέγειν πρός αὐτόν· «νεώτερος μέν εἰμι παρὰ τοὺς ἀπογόνους[3]) μου παῖδας. πλὴν αὐτῶν βδελυσσομένων ἀποκριθῆναί σοι[4]), ἀναγκάζομαί λέγειν τὰ κατ' ἐμέ, πρῶτον δὲ κατά σε. τέως γὰρ ἀποκριθῆναί[5]) μοι τὰ τῆς βαθείας καὶ ἀναισθήτου σου βουλῆς, ὅτι χείρων ὑπάρχεις τῶν ἀλόγων καὶ ἑρπετῶν[6]) ζώων τῶν ἐπὶ τῆς γῆς, ὅτι τὸ (64$^{v}$) διὰ τῶν χειλέων ἡμῶν ἀναπτόμενον πῦρ θεὸν ὀνομάζετε[7]), διὸ καὶ Μανηχαῖοι βέβλησθε[8]). παῦσαι λοιπόν, Ἀττικέ, ἄτακτον ὄνομα. δι' ὑμᾶς ὁ προφήτης ὀνομάζει[9]-) λέγων[9])· «ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἱδρομένα ἐν τῇ ματαιότητι[10]) αὐτῶν, αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, τὰ[11]-) ταμιεῖα αὐτῶν πλήρεις ἐξερευόμενα ἐκ τούτου, εἰς τοῦτο[11]) ἐμακάρισαν τὸν λαόν, ᾧ ταῦτά ἐστιν οὐχί, ἀλλὰ μακάριος ὁ λαός, οὗ κύριος ὁ θεὸς αὐτοῦ, οἵτινές ἐσμεν ἡμεῖς οἱ πένητες». τὸ δὲ λοιπὸν κελαδήσω τὰ καθ' ἡμᾶς. ἡμεῖς γὰρ βασιλέων ὁσίων παῖδές[12]) ἐσμεν[12]), Ἐζεκείου πατρὸς καὶ Καλλιγόνης μητρός. ὁ γὰρ πατὴρ ἡμῶν Ἐζεκίας ἐθάρρησεν εἰπεῖν τῷ θεῷ, ὅτι τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα, καὶ κομίζεται πρόσθεσιν[13]-) ζωῆς[13]) χρόνων ἐτῶν πεντεκαίδεκα. ἡ δὲ μήτηρ ἡμῶν καθ' ἑκάστην τοῖς δεομένοις ἐδίδου σιτηρέσια καὶ περιβόλαια καὶ χρήματα καθ' ὅτι ἄν τις χρείαν εἶχε. καὶ ἀποδείγει[14]) τὸν ἑαυτῆς ὁμόζυγον ἡμῶν δὲ πατέρα, ὥστε ἐν καιρῷ [σ]πανίῳ τῆς γεωργίας χαρίζεσθαι τοῖς γεηπόνοις τὸν φόρον, ὃ καὶ ἐποίησεν τῷ χρόνῳ τῆς βασιλείας αὐτοῦ. αὕτη δὲ ἐμαρτύρατο ἡμῖν, ὅτι ἐν καιροῖς ἰδίοις ἐλεύσεται ὁ τοῦ θεοῦ λόγος καὶ τὸν ᾅδην ἀνοίξει καὶ τὸ Βαβυλῶνος καὶ τὴν ἀποκατὰς[15]) Ἰσραὴλ (65$^{v}$) ἦσαν κεκρυμμένα τὰ λείψανα ἕως καιροῦ τῆς τοῦ[16]) δεσπότου[16]) Χριστοῦ παρουσίας ἄχρι τοῦ

---

1) βασιλέως. 2) въ рук. ἀπειλή. 3) ὁμογόνους. 4) доб. βδέλυγμα γὰρ σὲ ἡγοῦνται. 5) ἀποκρίνου. 6) ἑρπεσίων. 7) доб. ὁμοβοροῦντες τὰ βρωσκόμενα πάντα κύνων καὶ λύκων τρόπον ἔχοντες. δέδοται γὰρ τῷ γένει πλουτεῖν πρὸς ὑπόκρισιν κατάρας καὶ τὸ πῦρ θεὸν ὀνομάζετε, ὅπερ τὸ ὕδωρ διασβύει. 8) κέκλησθε. 9—9) λέγει. 10) νεότητι. 11—11) нѣтъ. 12—12) ἀπόγονοι πεφύκαμεν. 13—13) πρὸς θήκην ἡ ζωὴ αὐτοῦ. 14) ἔπεισε δὲ. 15) ἀποκαθίστασιν. 16) κατὰ σάρκα.

τιμίου καὶ[1]-) ἐνδόξου[1]) καὶ ζωοποιοῦ σταυροῦ, ὅτε σταυρωθέντος[2]-) τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[2]) ἔφριξαν τὰ θεμέλια τῆς γῆς βλέποντα[3]-) τὸν ἀθάνατον ἐπὶ τοῦ σταυροῦ κρεμασθέντα[3]), ὅτε ὁ οὐρανὸς ἐσείσθη, ἥλιος ἐσκοτίσθη καὶ πέλαγος[4]-) ἀβύσσου[4]) ἐταράχθη, ὅτε τοῦᾅδο υ τὰ ταμεῖα ἐφωτίσθη[5]) καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη καὶ ἦχθον[6]) εἰς τὴν ἁγίαν[7]) πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς τὰ περὶ Ἄβελ καὶ Νῶε καὶ λοιποὺς θεράποντας τοῦ κυρίου, τότε καὶ πρὸ τῆς παρουσίας αὐτοῦ κατὰ σάρκα μαρτυρήσαντας ὑπὲρ αὐτοῦ ὁσίους παῖδας καὶ τὸν πάνσοφον Δανιὴλ ἀναστήσας, ἤγαγεν αὐτοὺς πρὸς ἑαυτὸν καὶ πλῆθος ἑτέρων πολλῶν ἐπάνω πεντακοσίων ἀνδρῶν, ὅθεν τοὺς πλείους αὐτῶν ἐξελέξατο, πέμψας εἰς τὸν παράδεισον, ἐν πρώτοις δὲ τοὺς ὁσίους αὐτοῦ παῖδας μετὰ τοῦ πατρὸς αὐτῶν Ἐζεκίου καὶ τοῦ καλοῦ καθηγητοῦ Δανιήλ, τοὺς προδοξάσαντας αὐτὸν πρὸ τῆς αὐτοῦ παρουσίας, τούτους ἀπέστειλεν εἰς τὸν παράδεισον, τοὺς δὲ προσέταξεν ἐκ δευτέρου καθεύδειν μέχρι τῆς δευτέρας παρουσίας αὐτοῦ, τοῦ λῃστοῦ προδρόμου γεγονότος εἰς τὸν παράδεισον τοῦ τῆς ὥρας ἐργάτου λόγῳ κυρίου διακόψαντος τὴν φλογὴν ρομφαίαν, ὅταν γὰρ εἶπεν ὁ κύριος τῷ λῃστῇ· «μετ' ἐμοῦ ἔσῃ ἐν τῷ (66) παραδείσῳ», οὗτος ὁ λόγος, διακόψας τὴν φλόγα τοῦ πυρός, εἰσήγαγε τὸν λῃστὴν εἰς τὸν παράδεισον. διὰ τοῦτο καὶ Παῦλος ἐβόα· «ὤφθη ἐπάνω πεντακοσίων ἐφάπαξ, ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι τινὲς δὲ καὶ ἐκοιμήθησαν. οὓς ἀπέστειλεν εἰς τὸν παράδεισον, μένουσιν ἕως ἄρτι. οὓς ἀπέστειλε καθεύδειν εἰσίν. ταύτην τὴν κατασκευὴν σκότος φωτίσει, ὃν καὶ ἴδομεν ὁ[8]-) φανεὶς ἐκεῖ[8]) πρὸ μικροῦ χρόνου τούτου καταπατοῦντεςτὴν[9]) κάμινον[9]) ἐπὶ τοῦ προλαβόντος βασιλέως, (65) ἀλλ' ἐκεῖνος μὲν ἐξιώθη σωτηρίας, σοὶ δὲ τί[10]-) ἐστὶν ἐν καιρῷ τῆς ἐπισκοπῆς; τότε ἀπολαμβάνων κατὰ τὰς πράξεις σου[10]) ἡμεῖς δὲ προθύμως ὑπὲρ Χριστοῦ ἀποδεχόμεθα θάνατον».

V. Τότε δὲ πρὸς τὴν ἀπόκρισιν ταύτην συμβούλειον[11]-) χρησάμενος[11]), ὁ βασιλεὺς ἐκέλευσε τὴν κεφαλὴν τοῦ Μισαὴλ ἀποτμηθῆναι.

---

1—1) нѣтъ. 2—2) нѣтъ. 3—3) нѣтъ. 4—4) ἄβυσσος. 5) ἐσαλεύθη. 6) εἰσῆλθον. 7) отсюда до καθεύδειν εἰσίν. 8—8) нѣтъ. 9) нѣтъ. 10—10) ἐν τῇ μελλούσῃ κρίσει τῇ φοβερᾷ ἀξίαν λήψει τῶν κακῶν σου τὴν δίκην. 11—11) ἐμμανὴς γενόμενος.

προσδραμὼν δὲ ὁ Ἀζαρίας καὶ φιλαπτόριον ἐκτείνας ἐδέξατο τὴν κεφαλὴν αὐτοῦ κλαίων. ὁ δὲ Ἀττικὸς θυμωθεὶς ἐκέλευσε καὶ τὸν Ἀζαρίαν ἀποκεφαλισθῆναι. ὁ δὲ Ἀνανίας ἐπιδραμὼν ἑκατέρων ἐγκολπίζεται τὰς κεφαλάς. κρουομένου δὲ καὶ Ἀνανίου ὁ Δανιὴλ πετάσας τὸ φιβλατόριον ἐν τῇ γῇ κλαίων ἐδέξατο τὰς κεφαλὰς εἰπών· «κοινῇ ὁδῷ πορευσώμεθα πρὸς τὸν ἀθάνατον βασιλέα». καὶ κλίνας τὸν πολύτιμον αὐχένα τὴν κεφαλὴν ἀπέθετο μετὰ τῶν ἐραστῶν αὐτοῦ καὶ καλλινίκων μαρτύρων. ἐπιδραμὼν δὲ πᾶς ὁ λαὸς Ἰσραὴλ ἐκόψαντο κοπετὸν μέγαν ἐπ' αὐτούς, ὥστε τὸν ὀδυρμὸν αὐτῶν ἀμυδρῶσαι τὸν ἀέρα. τῇ δὲ τρίτῃ ἡμέρᾳ συγκομίσαντες ἀργύριον καὶ χρησάμενοι τεχνίτας ἀργυρολάτας καὶ κατασπάσαντες 1) σωροθήκας 2), ἐπιγράψαντες ἅμα 3) ἑκάστῃ θήκῃ τὸ ἴδιον 4) ὄνομα, καὶ λαβόντες τὰ ἅγια σώματα κατέθηκαν ἐν ταῖς θήκαις. πάντων δὲ βλεπόντων ἑκάστη κεφαλὴ συνεχρίσθη τῷ ἰδίῳ σώματι. τῇ δὲ ἐπιούσῃ νυκτὶ περὶ τὸ μεσονύκτιον κλέψαντες τὰ σώματα 5) καὶ μετὰ τὴν ἐπάνοδον τῶν υἱῶν Ἰσραὴλ ἐκ τῆς διαθήκης τῆς ἀγαθῆς ἐγὼ Κύριλλος ἐλάχιστος 6) ἐπίσκοπος τῆς Ἀλεξανδρέων πόλεως ἔτυχον 7) τῇ διαθήκῃ τοῦ Δανιήλ, συνεγραψάμην δὲ 8-) ὁσίων καὶ ἀμωμήτων παίδων σύμβολον καὶ πολιτείαν καὶ τὴν εἰς Χριστὸν τελείωσιν 8). γένοιτο δὲ τῇ τοῦ Χριστοῦ χάριτι καὶ πρεσβείᾳ τῶν ἀρτίως μνημονευθέντων καλλινίκων μαρτύρων θάλλειν καὶ προκόπτειν τὴν τοῦ Χριστοῦ ἐκκλησίαν εὐθηνοῦσαν ἐν καρπῷ δικαιοσύνης 9), ὅπως 10-) οἱ πατέρες καὶ αἱ μητέρες τοιαῦτα βλαστάνοντες φυτήματα μετὰ σωφροσύνης καὶ εὐσεβείας 10), οἱ νεανίσκοι καὶ παρθένοι τοιαύτης πολιτείας ἀξιοῦνται τοιαύτης ἀρετῆς συναυξάνουσι. τελειοῦνται δὲ οἱ ἅγιοι παῖδες μηνὶ δεκεμβρίῳ ιζ' χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

1) κατεσκάψαντες. 2) σαρκοθήκας. 3) καθ'. 4) нѣтъ. 5) доб. διότι ἐζήτει Ἀττικὸς καῦσαι αὐτά, σὺν ταῖς θήκαις ἤγαγον αὐτὰ ἐν τῷ ὄρει Γεβὰλ βουλόμενοι κατακρύψαι. ἡ δὲ πέτρα διαστάσα εἰς ἑαυτὴν κατέκρυψεν τὰ τῶν ἁγίων λείψανα. 6) нѣтъ. 7) ἐντυχών. 8—8) τὰ ὑπομνήματα τῶν ἁγίων παίδων εις ὠ φέλειαν πολλῶν. 9) доб. καί εὐσεβείας. 10—10) нѣтъ.